10 καὶ οὐκ ἔσονται οἱ ἐνοικοῦντες ἐν αὐταῖς. [10] οὗ γὰρ ἐργῶνται δέκα
ζεύγη βοῶν, ποιήσει κεράμιον ἕν, καὶ ὁ σπείρων ἀρτάβας ἓξ ποιήσει
11 μέτρα τρία. — [11] οὐαὶ οἱ ἐγειρόμενοι τὸ πρωὶ καὶ τὸ σικερα διώ-
12 κοντες, οἱ μένοντες τὸ ὀψέ· ὁ γὰρ οἶνος αὐτοὺς συγκαύσει. [12] μετὰ
γὰρ κιθάρας καὶ ψαλτηρίου καὶ τυμπάνων καὶ αὐλῶν τὸν οἶνον
πίνουσιν, τὰ δὲ ἔργα κυρίου οὐκ ἐμβλέπουσιν καὶ τὰ ἔργα τῶν
13 χειρῶν αὐτοῦ οὐ κατανοοῦσιν. [13] τοίνυν αἰχμάλωτος ὁ λαός μου
ἐγενήθη διὰ τὸ μὴ εἰδέναι αὐτοὺς τὸν κύριον, καὶ πλῆθος ἐγενήθη
14 νεκρῶν διὰ λιμὸν καὶ δίψαν ὕδατος. [14] καὶ ἐπλάτυνεν ὁ ᾅδης τὴν
ψυχὴν αὐτοῦ καὶ διήνοιξεν τὸ στόμα αὐτοῦ τοῦ μὴ διαλιπεῖν, καὶ
καταβήσονται οἱ ἔνδοξοι καὶ οἱ μεγάλοι καὶ οἱ πλούσιοι καὶ οἱ λοι-
15 μοὶ αὐτῆς. [15] καὶ ταπεινωθήσεται ἄνθρωπος, καὶ ἀτιμασθήσεται ἀνήρ,
16 καὶ οἱ ὀφθαλμοὶ οἱ μετέωροι ταπεινωθήσονται· [16] καὶ ὑψωθήσεται
κύριος σαβαωθ ἐν κρίματι, καὶ ὁ θεὸς ὁ ἅγιος δοξασθήσεται ἐν δι-
17 καιοσύνῃ. [17] καὶ βοσκηθήσονται οἱ διηρπασμένοι ὡς ταῦροι, καὶ τὰς
18 ἐρήμους τῶν ἀπειλημμένων ἄρνες φάγονται. — [18] οὐαὶ οἱ ἐπισπώ-
μενοι τὰς ἁμαρτίας ὡς σχοινίῳ μακρῷ καὶ ὡς ζυγοῦ ἱμάντι δαμά-
19 λεως τὰς ἀνομίας, [19] οἱ λέγοντες Τὸ τάχος ἐγγισάτω ἃ ποιήσει,
ἵνα ἴδωμεν, καὶ ἐλθάτω ἡ βουλὴ τοῦ ἁγίου Ισραηλ, ἵνα γνῶμεν. —
20 [20] οὐαὶ οἱ λέγοντες τὸ πονηρὸν καλὸν καὶ τὸ καλὸν πονηρόν, οἱ
τιθέντες τὸ σκότος φῶς καὶ τὸ φῶς σκότος, οἱ τιθέντες τὸ πικρὸν
21 γλυκὺ καὶ τὸ γλυκὺ πικρόν. — [21] οὐαὶ οἱ συνετοὶ ἐν ἑαυτοῖς καὶ
22 ἐνώπιον ἑαυτῶν ἐπιστήμονες. — [22] οὐαὶ οἱ ἰσχύοντες ὑμῶν οἱ τὸν
23 οἶνον πίνοντες καὶ οἱ δυνάσται οἱ κεραννύντες τὸ σικερα, [23] οἱ
δικαιοῦντες τὸν ἀσεβῆ ἕνεκεν δώρων καὶ τὸ δίκαιον τοῦ δικαίου
24 αἴροντες. [24] διὰ τοῦτο ὃν τρόπον καυθήσεται καλάμη ὑπὸ ἄνθρακος
πυρὸς καὶ συγκαυθήσεται ὑπὸ φλογὸς ἀνειμένης, ἡ ῥίζα αὐτῶν
ὡς χνοῦς ἔσται, καὶ τὸ ἄνθος αὐτῶν ὡς κονιορτὸς ἀναβήσεται·
οὐ γὰρ ἠθέλησαν τὸν νόμον κυρίου σαβαωθ, ἀλλὰ τὸ λόγιον τοῦ
25 ἁγίου Ισραηλ παρώξυναν. [25] καὶ ἐθυμώθη ὀργῇ κύριος σαβαωθ ἐπὶ
τὸν λαὸν αὐτοῦ, καὶ ἐπέβαλεν τὴν χεῖρα αὐτοῦ ἐπ᾽ αὐτοὺς καὶ ἐπά-
ταξεν αὐτούς, καὶ παρωξύνθη τὰ ὄρη, καὶ ἐγενήθη τὰ θνησιμαῖα
αὐτῶν ὡς κοπρία ἐν μέσῳ ὁδοῦ. καὶ ἐν πᾶσι τούτοις οὐκ ἀπ-
26 εστράφη ὁ θυμός, ἀλλ᾽ ἔτι ἡ χεὶρ ὑψηλή. [26] τοιγαροῦν ἀρεῖ σύσση-

9 εν αυταις > AQ$S^{c}$ pau. || 12 τυμπανων] + και χορων S† | κυριου] pr. του Q$S^{c}$, του θεου S*L | εμβλεψουσιν et κατανοησουσιν S*† || 13 διψαν] -ψος B || 14 fin.] + και ο αγαλλιωμενος εν αυτη LC (in O sub ※) || 19 ειδωμεν B | ελθα(uel ε)τω] ελθοι A† | ισραηλ > A† || 20 σκοτος φως et φως σκοτος] tr. SL || 21 εαυτων] ε > B || 22 τον οινον / πιν.] tr. BC | κεραννοντες B*S*†: cf. Thack. p. 246 || 24 αγιου > A || 25 εθυμωθη οργη] ωργισθη θυμω S† | επι] εις A† | αυτου $2^{0}$ > B† | και ult. > AQ | ο θυμος (cf. 9 11. 16. 20 10 4)] + αυτου BLC | αλλ] αλλα B† | η χειρ] + αυτου L (in O sub ※)